Ακαδημία Αθηνών / Academy of Athens

**μέριμνα.** Στοχασμὸς/ἔγνοια, thought/care, Ἐμπεδοκλῆς 2.2 *πολλὰ δὲ δείλ' ἔμπαια, τά τ' ἀμβλύνουσι μ έ ρ ι μ ν α ς* 11.1 *νήπιοι· οὐ γάρ σφιν δολιχόφρονές εἰσι μ έ ρ ι μ ν α ι, οἳ δὴ γίγνεσθαι πάρος οὐκ ἐὸν ἐλπίζουσιν ἤ τι καταθνήσκειν τε καὶ ἐξόλλυσθαι ἁπάντη* 110.7 *κατ' ἄνδρας μυρία δειλὰ πέλονται ἅ τ' ἀμβλύνουσι μ ε ρ ί μ ν α ς.* Πρβλ. *μελέτη, νοῦς, νόημα, φρόνησις.*

**μέρος** (ἀντίθ. *ὅλον*). Μέρος/τμῆμα, part, Ἐμπεδοκλῆς 2.3 *παῦρον δ' ἐν ζωῇσι βίου μ έ ρ ο ς ἀθρήσαντες ὠκύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν* 22.1 *ἄρθμια μὲν γὰρ ταῦτα ἑαυτῶν πάντα μ έ ρ ε σ σ ι ν, ἠλέκτωρ τε χθών τε καὶ οὐρανὸς ἠδὲ θάλασσα* 96.2 *ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐστέρνοις χοάνοισι τὼ δύο τῶν ὀκτὼ μ ε ρ έ ω ν λάχε Νήστιδος αἴγλης* Δημόκριτος 270 *οἰκέταισιν ὡς μ έ ρ ε σ ι τοῦ σκήνεος χρῶ ἄλλῳ πρὸς ἄλλο* Ἀρχύτας 1.50 *τὸ κάτω μ έ ρ ο ς ἀποφράξας ἐμφυσῇ* 2.12-13 *ἁ δ' ὑπεναντία, ἂν καλοῦμεν ἁρμονικάν, ὅκκα ἔωντι ⟨τοῖοι· ᾧ⟩ ὁ πρᾶτος ὅρος ὑπερέχει τοῦ δευτέρου αὐταύτου μ έ ρ ε ι, τούτῳ ὁ μέσος τοῦ τρίτου ὑπερέχει τοῦ τρίτου μ έ ρ ε ι.* || **τὰ κατὰ μέρος.** Τὰ ἐπὶ μέρους/καθέκαστα πράγματα, the particulars, Ἀρχύτας 1.4 *περὶ γὰρ τᾶς τῶν ὅλων φύσιος καλῶς διαγνόντες ἔμελλον καὶ περὶ τ ῶ ν κ α τ ὰ μ έ ρ ο ς, οἷά ἐντι, καλῶς ὀψεῖσθαι.* || **ἐν μέρει.** Κατὰ σειρὰ/διαδοχικά, in turn/successively, Ἐμπεδοκλῆς 17.29 *ἐ ν δὲ μ έ ρ ε ι κρατέουσι περιπλομένοιο χρόνοιο* 26.1-2 *ἐ ν δὲ μ έ ρ ε ι κρατέουσι περιπλομένοιο κύκλοιο, καὶ φθίνει εἰς ἄλληλα καὶ αὔξεται ἐ ν μ έ ρ ε ι αἴσης.*

**μεσσόθεν.** Ἀπὸ τὸ κέντρο (πρὸς τὴν περιφέρεια), from the center (to the periphery), Παρμενίδης 8.44 *μ ε σ σ ό θ ε ν ἰσοπαλὲς πάντῃ.*

**μέσος.** Μέσος/μεσαῖος, middle, Ξενοφάνης 1.7-11 *ἐν δὲ μ έ σ ο ι σ' ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησι... βωμὸς δ' ἄνθεσιν ἂν τὸ μ έ σ ο ν πάντῃ πεπύκασται* Παρμενίδης 12.3 *ἐν δὲ μ έ σ ῳ τούτων δαίμων ἣ πάντα κυβερνᾷ* Ἐμπεδοκλῆς 35.4 *ἐν δὲ μ έ σ ῃ Φιλότης στροφάλιγγι γένηται* Φιλόλαος 6.19 *τὸ δ' ἐν μ έ σ ῳ μέσσας καὶ τρίτας ἐπόγδοον· ἁ δὲ συλλαβὰ ἐπίτριτον, τὸ δὲ δι' ὀξειᾶν ἡμιόλιον, τὸ διὰ πασᾶν δὲ διπλόον.* || **μέσος.** Μεσαῖος (μου-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



σικὸς ὅρος), middle (musical term), Ἀρχύτας 2.13 *τούτῳ ὁ μ έ σ ο ς τοῦ τρίτου ὑπερέχει τοῦ τρίτου μέρει.* || **μέσση.** Ἡ Μέση (μουσικὸς ὅρος), the middle (musical term), Φιλόλαος 6.17-19 *ἔστι γὰρ ἀπὸ ὑπάτας ἐπὶ μ έ σ σ α ν συλλαβά, ἀπὸ δὲ μ έ σ σ α ς ἐπὶ νεάταν δι' ὀξειᾶν ... τὸ δ' ἐν μέσῳ μ έ σ σ α ς καὶ τρίτας ἐπόγδοον.* || **μέσαι.** Μέσαι (μουσικὸς ὅρος), middle (musical term), Ἀρχύτας 2.1 *μ έ σ α ι δέ ἐντι τρῖς τᾷ μουσικᾷ, μία μὲν ἀριθμητικά, δευτέρα δὲ ἁ γεωματρικά, τρίτα δ' ὑπεναντία, ἃν καλέοντι ἁρμονικάν.* || **μέσον.** Κέντρον, centre, Φιλόλαος 7 *τὸ πρᾶτον ἁρμοσθέν, τὸ ἕν, ἐν τῷ μ έ σ ῳ τᾶς σφαίρας ἑστία καλεῖται.*

**μεσότης.** Μεσότης/μέσον, mean/middle, Ὄκκελος 8 (DK I 441, 8) *ἡ τριὰς πρώτη συνέστησεν ἀρχήν, μ ε σ ό τ η τ α καὶ τελευτήν.* Πρβλ. *ἀρχή, τελευτή.*

**μεστός.** Γεμάτος, full, Ξενοφάνης 1.4 *κρατὴρ δ' ἕστηκεν μ ε σ τ ὸ ς εὐφροσύνης* Δημόκριτος Α 78 (DK II 104,11) *μ ε σ τ ό ν τε εἶναι τὸν ἀέρα τούτων* 275 *τὴν μὲν γὰρ ἐπιτυχίην ἀγῶνος μ ε σ τ ὴ ν καὶ φροντίδος κέκτηται.*

**μεταβάλλειν 1** (συνών. *μεταλλάσσειν*). Μεταβάλλομαι/ἀλλάζω, alter/change, Ἡράκλειτος 84a *μ ε τ α β ά λ λ ο ν ἀναπαύεται* Δημόκριτος Α 135 (DK II 117,35) *μ ε τ α β ά λ λ ε ι ν τῇ κρήσει κατὰ τὰ πάθη καὶ τὰς ἡλικίας* **2.** Ἀλλάζω κατεύθυνση, change direction, Διογένης 6.46 *αἱ δὲ φλέβες ... ἕως ἂν μ ε τ α β ά λ λ ω σ ι ν ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερὰ καὶ ἐκ τούτων εἰς τὰ δεξιά.*

**μετακοσμεῖσθαι.** Ἀναδιαρθρώνομαι/ἀναδομοῦμαι, be rearranged/be reconstructed, Μέλισσος 7 (2)-(3) *καὶ οὔτ' ἂν ἀπόλοιτο οὔτε μεῖζον γίνοιτο οὔτε μ ε τ α κ ο σ μ έ ο ι τ ο οὔτε ἀλγεῖ οὔτε ἀνιᾶται ... ἀλλ' οὐδὲ μ ε τ α κ ο σ μ η θ ῆ ν α ι ἀνυστὸν ... πῶς ἂν μ ε τ α κ ο σ μ η θ ὲ ν τῶν ἐόντων εἴη; εἰ μὲν γάρ τι ἐγίνετο ἑτεροῖον, ἤδη ἂν καὶ μ ε τ α κ ο σ μ η θ ε ί η.* Πρβλ. *κοσμεῖσθαι, διακοσμεῖν, διατιθέναι, ἀλλάσσειν, μεταρυσμοῦν.*

**μεταλλάσσειν** (συνών. *διαλλάσσειν, ἀμείβειν, διαμείβειν*). Ἐναλλάσσω/ἀλλάζω, interchange/change, Ἐμπεδοκλῆς 115.8 *ἀργαλέας βιότοιο μ ε τ α λ λ ά σ σ ο ν τ α κελεύθους.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ